Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Amphilochii episcopi Iconii.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

ANNO CHRISTI 431.

ἄτρεπτος προκόπτει· ὁ πλούσιος ἐν καταλύματι* τίκτεται· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, σπαργανοῦται· ὁ βασιλεὺς ἐν φάτνῃ κατατίθεται.

*γεννᾶται.

immutabilis est, proficit: qui diues est, in diuersorio gignitur: *qui operit cælum in nubibus*, pannis inuoluitur: qui rex est, in præsepi deponitur. Psal. 146.

Ὁμοίως τοῦ αὐτοῦ.

ΕΙ ἵνα διακρίνει ἡ τοῦ μονογενοῦς ἐνανθρώπησις, καὶ παρθένου κύησις, καὶ παθῶν κοινωνία, καὶ σταυρός, καὶ θάνατος, καὶ ἀνάστασις· μανθάνων γινωσκέτω, πρόξενα ταῦτα εἶναι τῆς οἰκουμενικῆς σωτηρίας· καὶ μὴ ἀνάξια τῆς φιλανθρωπίας τοῦ κρείττονος λογιζέσθω. εἰ γὰρ αἰσχρὸν θεῷ τὸ παρθένον οἰκῆσαι, αἰσχρότερον* περὶ πάντων καὶ τὸ ποιῆσαι. εἰ δὲ δημιουργῶν οὐχ ὑβρίσθη, οὐδὲ οἰκῆσαι τὸ δημιούργημα αἰσχύνης ἄξιον ἔκρινε. καὶ εἰ τὸ παθεῖν κακόν, τὸ παθῶν ἀπαλλάξαι ἡλίκον; ὥστε καὶ τέθνηκεν ἀθάνατος ὤν, ἵνα θανατώσῃ τὸν θάνατον· καὶ ἀνέστη, τὴν ἡμετέραν πρυτανεύων ἀνάστασιν. καὶ ταῦτα πάντα δέχεται οὐ φύσει θεότητος, ἀλλὰ προσλήψει σαρκός· τῇ μὲν ἐν ἀσύλοις τῆς οἰκείας ἀπαθείας οἰκῶν· τῷ δὲ τὰ πάντα παθὼν καὶ ὑπομείνας, ὡς ἂν γένοιτο πολιτείας τῆς ἀρίστης ἡγεμών τε καὶ νομοθέτης.

*πρὸ πάντων

*Item ex eodem.*

SI quem secernit a nobis vnigeniti inhumanatio, & virginis partus, & passionum communicatio, & crux, & mors, & resurrectio, discens agnoscat hæc mundo salutem parere; ac non indigna benignitate præstantioris existimari debent. Si enim turpe est Deo in virgine habitare, turpius fuerit & eam condere. Quod si eam condens nullam incurrit ignominiam; nec habitare in creatura dignum opprobrio iudicauit. Si vero pati malum est, liberare passionibus quantum est? Quare & mortuus est, immortalis existens, vt morti mortem inferret; & resurrexit, nostram constituens resurrectionem. Et hæc omnia suscepit non natura deitatis, sed assumptione carnis: illa quidem in asylis suæ habitans impassibilitatis, hac autem omnia passus, & tolerans, vt fieret optimi instituti dux & legislator.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου.

ΕΠΕΙΔΗ γὰρ ὁ αὐτὸς βασιλεὺς καὶ θεός, καὶ νεκρώσεως διὰ τὴν τοῦ πάθους οἰκονομίαν γευσάμενος, τὰ δῶρα τῶν μυστηρίων ἐστὶν αἰνίγματα. προσφέρουσιν οἱ μάγοι χρυσόν, γνωρίζοντες αὐτὸν εἶναι βασιλέα. προσφέρουσι λίβανον· θεῷ γὰρ ἴσασι προσφέροντες. προσφέρουσι σμύρναν διὰ τὴν ἐν τῷ μυστηρίῳ τοῦ πάθους νέκρωσιν.

*Amphilochii episcopi Iconii.*

QVONIAM enim idem rex & Deus est, & mortem ob passionis dispẽsationem gustauit, munera mysteriorum sunt indicia. Offerunt magi aurum, cognoscentes ipsum esse regem: offerunt thus; norunt enim se Deo offerre: offerunt myrrham propter mortem in mysterio passionis.